οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται οὔτε πέφυκεν
ὅστις πᾶσιν ἁδὼν δύσεται εἰς 'Αΐδεω·
οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

(Theognidis)

⊗ τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρὸν
εὐθύτερον χρὴ ⟨ἔ⟩μεν Κύρνε φυλασσόμενον,
ὧιτινί κεν Πυθῶνι θεοῦ χρήσασ' ἱέρεια
ὀμφὴν σημήνηι πίονος ἐξ ἀδύτου·
οὔτέ τι γὰρ προσθεὶς οὐδέν κ' ἔτι φάρμακον εὕροις,
οὐδ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.

(Theognidis)

⊗ χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔτι κάκιον,
τῶν δ' ἄλλων πάντων Κύρν' ἀνιηρότατον·
οἵ με φίλοι προύδωκαν· ἐγὼ δ' ἐχθροῖσι πελασθεὶς
εἰδήσω καὶ τῶν ὅντιν' ἔχουσι νόον. ×

(Theognidis)

βοῦς μοι ἐπὶ γλώσσηι κρατερῶι ποδὶ λὰξ ἐπιβαίνων
ἴσχει κωτίλλειν καίπερ ἐπιστάμενον ×
Κύρν'· ἔμπης δ' ὅτι μοῖρα παθεῖν οὐκ ἔσθ' ὑπαλύξαι.
[ὅττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν].

(Theognidis)

ἐς πολυάρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα